ἡγοῦμαι, ὡς ἂν μὴ τοὺς ἀμαθεῖς ἄλλο τι φρονεῖν ἐποτρύναιμι, καὶ καθ' ἡμῶν λέγειν δόξαιμι. *Ἐς τοῦτο γὰρ ἀμαθεί(ας) τό γε νῦν εἶναι κατηνέχθημεν, ὡς μὴ εἰδέναι δύνασθαι ὅσον διενήνοχε τὸ χεῖρον τοῦ κρείττονος, ἢ τὸ ὠφελοῦν τοῦ βλάπτοντος.* Ἀλλὰ καὶ ταύτῃ διακείμενοι οὐδεμίαν ὅμως καταβάλλομεν φροντίδα ταυτησὶ τῆς δεινῆς ἀρρωστίας ἀπαλλαγῆναι μικρὸν γοῦν, ἀλλ' ἐνηδόμεθα μᾶλλον τῇ ἀμαθίᾳ καὶ τῇ ἄλλῃ ἀπαιδευσίᾳ, καὶ ἐσμὲν ἀνδρεῖοι κατὰ τῆς ἡμετέρ(ας) σ(ωτη)ρίας. *Τουτὶ δὲ τὸ κακὸν οὐχ εἷς ἢ δύο, ἀλλὰ πάντες σχεδὸν πάσχουσι, καὶ τούτων μᾶλλον οἱ τοῦ λαοῦ ἡγούμενοι καὶ ὀφθαλμοὶ καὶ φῶς ὀφείλοντες εἶναι τοῖς λοιποῖς, οἵτινες σκότος αὐτόχρημα, οὐκ ἐσκοτισμένοι, εἰσί. Τούτοις οὖν ταύτῃ γε καταστᾶσί τε καὶ διατεθεῖσιν ἐκ τῆς ἄγαν ἀμαθίας, οὐκ εἰκὸς ἦν ἀποστασίαν παραινεῖν ἑλέσθαι Δαιμονύσιε, ἀλλὰ μόνον ὑπομένειν γενναίως τὰ προσπίπτοντα.* Σὺ δ' ἀλλὰ καὶ τούτων ἀναινομένων ἐς τοῦτο προὔτρεπες ἀεί, ἕως εἰς τοιοῦτον αὐτοὺς ἤγαγες ὄλεθρον. Πῶς οἴσομεν τὴν τοσαύτην αἰσχύνην, ἣν κατέλιπες ἡμῖν Πῶς σου ἐπ' ἀγαθῷ μνησθείημέν ποτε, ταύτῃ γε διατεθεικότος ἡμᾶς; *Οὐδένα γὰρ βλάβης ἐκτὸς εἴασας, ἀλλ' ὁμοῦ πάντων τὸ σὸν δαιμονικὸν ἐπιχείρημα, ὥσπερ τις γάγγραινα, καθήψατο. Πᾶσιν ὁμοῦ κεκέρακας τὸ τῆς*
φ. 355α *ἀθυ | (μίας)τε καὶ ζημί(ας) οὐ τῆς τυχούσης ποτήριον. Πᾶσιν ὥσπερ τις θανατηφόρος καὶ πικρότατος ὄφις μετέδωκας τοῦ ἰοῦ. Νέος ἡμῖν Ἰουλιανὸς διὰ τῆς σῆς ἀποστασί(ας) κατέστης. Νέος τῷ ὄντι διάβολος.* Ὡς γὰρ ἐκεῖνος, τοῦ παραδείσου διὰ τῆς ἀπάτης τὸν πρωτόπλαστον ἐξέβαλεν, οὕτω καὶ σύ, τοῖς ἐκείνου τρόποις καὶ τέχναις χρησάμενος, τῆς ἧς *εἴχομεν μικρᾶς, ἐλευθερί(ας) τε καὶ παρρησί(ας) τὸ παράπαν ἀπεστέρησας.*

*Οὐ μόνοις δὲ τοῖς λαϊκοῖς, ἀλλ' οὐδὲν ἧττον καὶ ἡμῖν τοῖς μοναχοῖς πρὸς τῇ μεγίστῃ βλάβῃ, αἰσχύνην ἀφόρητον ἐνεποίησας. Τίς γὰρ μοναχῷ πιστεύσειε τοῦ λοιποῦ, ἢ προσδέξασθαι ὅλως αὐτὸν βουληθείη ὑποψίας χωρίς, κἂν καὶ τῶν λίαν χρηστῶν τις εἶναι τύχῃ;* Πᾶσι γὰρ καὶ τοῖς ἀναιτίοις τοῦ παρὰ πάντων ἀπιστεῖσθαι μετέδωκας. Παντὶ διεδόθη τὸ τοιοῦτον κακόν, τῷ σὲ τοιούτῳ ὀνόματι καλεῖσθαι καὶ τὸ σχῆμα τὸ μοναχικὸν ἐνδεδυμένον εἶναι μόνον. Οὐ γὰρ ἂν φαίην ἔγωγε ὡς καὶ τὴν μοναχοῖς καθήκουσαν μετήρχου πολιτείαν. Ἦ γὰρ ἄν, οὐκ ἂν τοιούτων ἦρας καὶ τοιούτοις ἐνεχείρησας, οὐδ' ὅτι οὖν τοῖς μοναχοῖς καθήκουσιν. *Ἐῶ λέγειν*

1. Ἄλλό τι.
5. Ἀῤῥωστίας.
13. Προὔτρεπες.
15. Διατεθηκότος.
19. Μετέδοκας.
20. Τωόντι.
23. Παῤῥησίας.
31. Πολητείαν.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

*ὡς καὶ κρέως ἐγεύου, πῇ μὲν λαθραίως πῇ δὲ κἀναφανδόν, ἄλλων τέ τινων οὐκ ἀπέχου ἀθεμίτων, ὡς οἱ συνόντες σοι καὶ ἑωρακότες διεβεβαίουν.* Ταυτὶ δ' ὅμως, εἰ καὶ ἀνοίκεια τῷ μοναχικῷ ἐπαγγέλματι καὶ παρὰ τὰς καταλλήλους συνθήκας τυγχάνει ὄντα καὶ πρόσκομμα τοῖς πολλοῖς ἐς σκάνδαλον, ἀλλ' οὖν οὐ τοσοῦτον ἦν βαρύ, ἅτε σὲ μόνον βλάπτοντα, ἢ καὶ ἐπ' ὀλίγους γοῦν διοδεῦον ἦν τὸ κακόν, Πρὸς δὲ καὶ πρόφασίν τινα τούτων ἅπτεσθαι εἶχες τυχόν, καίτοι οὐ τοιαύτας προφάσεις προσεῖναι χρὴ τοῖς ἐπανῃρημένοις τὴν τοιαύτην πολιτείαν καὶ τοιαῦτα ὑποσχομένοις τὴν ἀρχήν, ὥςτε νεκροὺς εἶναι τῷ κόσμῳ, ἀλλὰ μὴ ὑπερπιαίνειν ἑαυτοὺς καὶ κατασαρκοῦν, ὡς ἔχοιεν δηλαδὴ τῶν ἡδονῶν ἀπολαύειν. *Πλὴν ἀλλὰ πρόφασις ἴσως ἦν σοι τῆς φύσεως, ἵνα μὴ λέγω τῆς κακίστης προαιρέσε(ως), ἐς τοῦτο κατωθούσης καὶ σέ, ἢ καὶ ὀλίγους, ὡς φθάσας εἶπον,* βλαπτούσης. *Νυνὶ δὲ οὐκ ἔστιν ὃς οὐκ ἐβλάβη μεγάλως, καὶ μάλιστα τῶν μοναχῶν οἱ πλείους, μᾶλλον δ' ἀπαξάπαντες, οἵτινες οὐ μόνον γέλως τε καὶ ἐμπαιγμὸς παρὰ τοῖς ἀσεβέσι καὶ Ἰουδαίοις οὐχ ἥκιστα κατέστησαν, ἀλλὰ καὶ παρὰ τοῖς ἡμετέροις οὐδὲν ἧττον καὶ μέχρι γυναικῶν καὶ παίδων βδέλυγμ' ἄντικρυς ἐγένοντο. Οὐ γὰρ σώζουσιν ἔτι παρ' ἑαυτοῖς τὴν ἣν πρότερον ἐφύλαττον αἰδῶ τε καὶ εὐλάβειαν πρὸς αὐτούς.* Καί μοι δοκοῦσιν, οὐ γὰρ αἰσχύνομαι τἀληθὲς λέγειν, οὐκ ἔξω τοῦ εἰκότος ποιεῖν. Οὐ γὰρ νῦν πρῶτον, | ἀλλὰ καὶ πολὺ πρὸ τούτων, παρ' ἡμῶν, τῶν ἔξωθεν μὲν προ- φ. 355β
βάτων, ἔνδον δὲ λύκων τῷ ὄντι φερόντων ἔνδυμα, ταυτὶ γ' ἤρξατο γίνεσθαι τἀθέμιτά τε καὶ πᾶσαν κακίαν ὑπερακοντίζοντα. Νόμων παραβάσεις πόθεν ἄλλοθεν ἢ παρ' ἡμῶν; *Παρ' ἡμῶν ἡ τοῦ θείου εὐαγγελίου καταφρόνησις. Οὐδεὶς γὰρ τοῖς ἴχνεσιν αὐτοῦ ἕπεσθαί βούλεται. Οὐδεὶς τοῖς προστάγμασί τε καὶ παραγγέλμασιν αὐτοῦ ἀκολουθεῖ. Οὐδεὶς οὐδ' ἂν ἀναγνῶναι γοῦν παροδευτικῶς προτρέπεται. Εἰδέ τις αὐτῶν καὶ ἀναγνοίη ποτέ, καιροῦ κατεπείγοντος καλέσαντος, τὰ πλείω ἀφίησι προσκόπτων ὄνου δίκην, ὑπ' ἀμαθείας. Καὶ ταῦτα τίνες; Οἵτινες ὤφειλον, καθ' ἅπερ ὑπέσχοντο, ἐπ' ἄμβωνος ἀναπτύσσοντες κηρύττειν διὰ τοὺς ἁπλουστέρους. Ἀλλὰ κἀντούτῳ, ὡς δήπου κἂν τοῖς λοιποῖς ἅπασιν, ἐψεύσαντο οἱ τάλανες. Κοὐ μόνον τουτὶ τούτοις πρόσεστι τὸ κακόν, ἀλλὰ καὶ εἴ τις, κἂν μικρόν τι τύχῃ εἰδώς, ἀπειργε-*

---

1. Τινῶν.
4. Πρόσκομα.
11. Τοῖς.
18. Αἰδῶ.
21. Τῳόντι.
26. Ἀναγνόη.
28. Ὄφειλον, καθάπερ.
29. Ἀναπτύσσοντας.
30. Κἀν τούτῳ, κἄντοις.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ται καὶ διώκεται σχεδὸν παρ' αὐτῶν, ὡς ἂν μὴ δοκοῖεν αὐτοὶ ἀμαθεῖς ὄντες. Σιωπώντων γὰρ τῶν πάντων, οὐκ ἂν ῥαδίως ὁ εἰδὼς τοῦ μήτοι τοιούτου δῆλος γένοιτο. Τούτου χάριν ἐς τοῦτ' ἀμαθείας ἧκον, ὡς μηδ' ὀρθῶς καὶ ἀπταίστως ἀναγινώσκειν εἰδέναι. Κἄντις αὐτῶν εὑρεθείη γινώσκων ὅτι οὖν, κενοδοξίας παραυτίκα ἡττηθείς, ὡς δῆθεν τῶν ἄλλων οἰόμενος ὑπερέχειν, ἀποτυφλοῦται παντάπασι, καὶ τοὺς οἷς σύνεστι φρεναπατᾷ, ὡς μέγα τι εἰδώς.

Τούτων εἷς καὶ ὁ Διονύσιος οὑτοσὶν ἐτύγχανεν ὤν. Ὃς, μικρόν τι τῶν ἄλλων ὑπερέχειν οἰηθείς, ἐπήρθη τῇ διανοίᾳ τοσοῦτον, ὡς δοκεῖν ἑαυτῷ, ὑπερνέφελός τις εἶναι, πάντας τε περιφρονεῖν, καὶ οὐδενὸς ἔτι οὐδ' ὁπωσοῦν ἐπιστρέφεσθαι, διὰ τὸ σπουδῆς ποτ' ἀντιποιηθῆναι, καὶ τῇ γραμματικῇ μόνῃ πάνυ μικρὸν χρόνον ἐνομιλῆσαι. Οἰόμεθα γὰρ ἡμεῖς οἱ γραμματικῆς μόνης μετέχοντες, καὶ ταῦτα οὐδὲ τοὺς κανόνας αὐτῆς καλῶς ἐπιστάμενοι, καὶ φιλόσοφοι καλεῖσθαι, καὶ μάλιστα παρὰ τοῖς μέρεσι τούτοις, οὐκ εἰδότες ὡς οὐκ ἀρκεῖ μόνη γραμματική, κἂν ἐπ' ἀκριβείας αὐτήν τις εἰδὼς εἴη, πρὸς τὸ δύνασθαι φιλόσοφον ποιῆσαι ἢ φιλοσοφικῶν ἐφάπτεσθαι λόγων. Πλὴν ἀλλὰ Δυονύσιος οὐδὲ ταύτην καλῶς ἐπιστάμενος ᾤετο δεῖν καὶ οὐκ ἠρυθρία φιλόσοφον ἑαυτὸν χρῆναι καλεῖσθαι. Οὐ μὴν ἀλλὰ καὶ τὰ μέρη ταῦτα ἰατρικῆς μὲν χρῄζοντα ἰδών, ἰατρῶν δ' οὐκ εὐποροῦντα τὸ παράπαν,
φ. 356α φήθη δεῖν καὶ ἰατρὸν ἑαυτὸν ἐπιφη | μίσαι, κέρδους πόρον ἐντεῦθεν οὐ τὸν τυχόντα θηρῶν. Τοσοῦτον γ' ὅμως ἀπελείπετο ἰατρικῆς, ὅσον αἰπόλος ἢ ἄλλος τις τῶν βαναύσων φιλοσοφί(ας). Ἀλλὰ καὶ γενεθλιαλογίαν καὶ ἀστρολογίαν ἔφασκεν εἰδέναι, βιβλίοις τισὶ πλάνον καὶ σκότον ἔχουσι πολὺν περιτυχών. Οἷς δήπου πολλούς, καὶ μάλιστα τὰς ἀστηρίκτους γυναῖκας, ἐξηπάτα, παῖδας ἄρρενας ἐπαγγελλόμενος αὐτοῖς δύνασθαι τεκεῖν, καὶ τὴν αὐτῶν προγινώσκειν τύχην ὁποία τις ἐσεῖται.

Τούτῳ δὴ οὖν, τοιαῦτα τερατευομένῳ καὶ τοιούτῳ ὄντι, πάντες ὡς τῷ ποτε κύνωπι ἐκείνῳ εἵποντό τε καὶ καταπειθεῖς ἦσαν οἷς ἔλεγε καὶ ἔπραττεν. Ἀνθ' ὧν καὶ τοιαύτην ἀντιμισθίαν τῆς πλάνης αὐτῶν ἔλαβον. Οὕτω γὰρ ἀγεληδὸν μετ' αὐτοῦ ὅσοι αὐτῷ συνῆσαν ἐξώρμησαν, ὡς θαυμάζειν πάντας.

---

1. Δοκῶεν.
7. Ὁτοσίν.
9. Οὐδ'ὁποσοῦν.
10. Ἀνποιηθῆναι.
19. Ἐπιφημῆσαι.
20. Ἀπελίπετο . . . αἰκόλος.
21. Τίς.
22. Ἔφασκαν.
24. Ἐπαγγελόμενος.
25. Τίς ἐσεῖται.
27. Εἷποντο.
28. Ἀνθῶν.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

*Τουτὶ δὲ τούτους πεπονθέναι λέγουσι, ποτήριον οἴνου πλῆρες παρ' αὐτοῦ δεξαμένους· οὐ καὶ γευσαμένους, ἔφασαν οἱ ἑωρακότες, εἰς ταύτην παραυτίκα τὴν ὀλέθριον ἐγχείρησιν ἐκβεβακχεῦθαι καὶ οὐ καθεκτοὺς εἶναι τοῦ λοιποῦ. Καὶ ταύτῃ πλανηθῆναι τούτους δοκεῖ τισιν. Ἔμοιγε δ' οὐχ οὕτω δοκεῖ, ἀλλὰ μέθυσοι τῷ ὄντι καὶ οἰνόπληκτοι καὶ δὴ καὶ ἀμαθέστατοι ἐς ὑπερβολὴν ὄντες ταυτὶ τούτους φημὶ πεπονθέναι.* Οὐδεμία γὰρ τῆς ἀμαθίας χείρων ἂν εἴη πλάνη. Οὐδεμία μέθη οὕτω σκοτοῦν πέφυκεν ὡς ἀπαιδευσία, ᾗ τινι καὶ ἡ μέθη συνελθοῦσα σκότος αὐτόχρημα τὸν τούτοις ἐφηδόμενον ποιεῖ.

*Ὁρᾶτε οἵαν αἰσχύνην ὑμῖν προσέτριψε Διονύσιος ὁ πανώλης τε καὶ κακεντρεχής, καὶ οἵ κακῶν ἡμᾶς κατήγαγε, διὰ τὸ μὴ οἵους εἶναι τὴν ἀπάτην αὐτοῦ προειδέναι, καὶ τὴν πανουργίαν τούτου διαγνῶναι, ἀμαθεστάτους ὄντας ἐς τὰ μάλιστα, κἀκεῖνον μόνον παρ' ὑμῖν σοφὸν εἶναι δοκεῖν;* Ὁρᾶτε ὅσον ἀμαθία καὶ ἀπαιδευσία κακόν; Ἐχρῆν ὑμᾶς μοναχοὺς εἶναι ἐθέλειν, ἀλλὰ καὶ σοφί(ας) ἐς δύναμιν ἀντιποιεῖσθαι, δι' ἧς ῥᾷον τὸ ὄντως ὂν δυνηθείη ἄν τις εὑρεῖν. Διὰ γὰρ τοῦτα καὶ ἀσκητὰς παρὰ τῷ θείῳ Βασιλείῳ οἶμαι κεκλεῖσθαι τοὺς μοναχούς, παρὰ δὲ τῷ Ἰουδαίῳ Φίλωνι θεωρητικούς, ὡς ἂν ἀμφοτέρ(ων) τούτων ἀντιποιοῖντο. Οὐ γὰρ ἀρκεῖ μοναχοῖς τὸ εἶναι μοναχούς, ἀλλὰ καὶ ἀσκήσεως καὶ θεωρί(ας) τούτους ἐφίεσθαι χρή. Δι' ἐκείνης μὲν γὰρ τὴν πρᾶξιν κτήσαιντ' ἄν, διὰ δὲ ταύτης εἰς τὸ ὕψος ἀναχθεῖεν πάσης ἀρετῆς τε καὶ ἀπαθεί(ας) καὶ οὕτω τοῦ ἀκροτάτου τῶν ἀγαθῶν εἰς ὃ ἐπείγονται τετυχηκέναι γένοιτ' ἂν αὐτοῖς.
Ὑμεῖς τοίνυν οὐδέτερον τούτων ἔχοντες ἐν σφίσιν αὐτοῖς, πῶς ἂν | εἰς τὸ φ. 356β
τέλειον ἀναχθείητέ ποτε; Μὴ τοιοῦτοι δὲ γενόμενοι τίνι μηχανῇ τῆς αἰωνίου τεύξοισθε ζωῆς; Ἐκείνης δ' ἐκπεσόντες, τί τοῦ μοναχοὶ καλεῖσθαι ὠφεληθείητ' ἄν; Μὴ ἄρ' οἴεσθε τὸ περιβαλέσθαι μόνα τὰ μέλανα ἢ φαιὰ ἱμάτια εἰς τὸ σωθῆναι ἀρκεῖ ἡμῖν; Ἀλλὰ μὴ τὸ ἀποχαρῆναι αὐτό, ἢ τὸ μετονομασθῆναι, καὶ τὸ παρὰ πάντων τῷ τῆς ἁγιωσύνης ἐπικαλεῖσθαι ὀνόματι; Ἀλλ' εἰ τοῦτο ἦν, τί ἐκώλυε πάντας ἀν(θρώπ)ους σωθῆναι ῥᾳδίως; Οὐ μόνον δὲ ἀν(θρώπ)ους σωθῆναι ταύτῃ γ' ἐνῆν, ἀλλὰ καὶ ὄνους, καὶ ἄλλα πολλὰ τῶν ζῴων, ὅσα εἴωθε περικαλύπτεσθαι φαιοῖς τε καὶ μέλασι τῶν πέπλων. Οὐκ ἐν τούτοις ἦν ἡ σ(ωτηρ)ία, ὦ βέλτιστοι, ὡς

---

3. Ἐκβακχεῦθαι.
5. Τωόντι.
9. Οἷαν . . . Πανόλης.
14. Ῥᾶον.
18. Μοναχοῖς.
23. Τοιούτη... τίνη.
25. Ὠφελιθείητ'.
26. Ἀποχαρεῖναι.
29. Ραδίως.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ὑμεῖς ὑπ' ἀμαθίας οἴεσθαι καὶ ἁπλότητος. Ταῦτα μαθεῖν ὑμᾶς ἔδει, οὐ περὶ βασιλεί(ας) ἐπιγείου τὴν ἔρευναν ποιεῖσθαι. Τοὺς ἁγίους ἐκείνους τοὺς πάλαι ἔδει μιμεῖσθαι, καὶ τῶν ἰχνῶν ἐχομένους τοῦ πρὸς σωτηρίαν ἡμῖν καθηγησαμένου μηδὲν ἄλλο ζητεῖν. *Τῷ Χριστῷ καὶ τοῖς ἐκείνῳ γνησίως ἀκολουθήσασιν, ἀλλὰ μὴ Διονυσίῳ τῷ ἀγύρτῃ ἕπεσθαι προσῆκον ὑμῖν ἦν, τὴν οὐράνιον ἀλλὰ μὴ τὴν ἐπίγειον ζητεῖν βασιλείαν δέον ἦν*. Τοὺς γὰρ εὐσεβείας καὶ ἀρετῆς ἀντέχεσθαι βουλομένους ἐκείνην οὐ ταύτην ζητεῖν βούλεται ὁ Κ(ύριο)ς. Ἐμπόδιον γὰρ αὕτη τοῦ ἐκείνης ἐπιτυχεῖν καθέστηκε μέγιστον.

Ἀλλ' οὗτοι μὲν ἀμαθίᾳ καὶ ἁπλότητι ἐντεθραμμένοι οὐχ οἷοί τ' ἐγένοντο ξυνιέναι τὸ δέον. *Σὺ δ', ὦ κάκιστ' ἀπολούμενε, πῶς οὐκ ἐνόησας τὸ καθῆκον; Τί σε τοιοῦτόν τι πεποιηκέναι κακὸν παρέπεισε; Μῶν τοῖς ἀλλοκότοις καὶ ψευδέσι χρησμοῖς θαρρήσας τουτὶ πέπραχας ἢ τοῖς σοῖς μαντεύμασιν; Καὶ πῶς οὐκ ἐμαντεύσω ὡς ἀφαιρεθήσῃ τὴν δορὰν αἴσχισθ' οὑτωσί, γελώντων Ἰουδαίων, ἀλαλαζόντων ἀσεβῶν τούτου γιγνομένου; Μείζων ἦν τῆς τιμωρίας ἡ αἰσχύνη. Πῶς οὐκ ἐλογίζου ταυτὶ ἢ ἐμαντεύου μάντις ὤν; Πῶς οὐκ ἐθεάσω γοῦν τὸν σὸν πώγωνα πεπολιωμένον ἤδη καὶ τὸ πρόσωπον ἅπαν ῥυτίδων πεπληρωμένον ὑπὸ τοῦ γήρως; Πῶς οὐκ ᾔσθου σεαυτοῦ κεκυφότος τῷ γήρᾳ; Εἰ νέος ἐτύγχανες ὤν, τάχα ἂν εἶπέ τις ὡς νεότης σε κατηνάγκασε μὴ ξυνιέναι τὸ πρέπον. Ἑβδομηκοντούτης δὲ γεγονὼς εἰς τοιαύτην ἐπιθυμίαν κατώλισθες; Ἀλλὰ μὴ οὐκ ἦν σοι φαγεῖν ἢ ποιεῖν ὡς αὐτὸς ἐβούλου λαμπρῶς; Καὶ μὴν μοναστήρια πάντα ἠνοικτό σοι βουλομένῳ, πᾶσα δὲ πόλις ἕτοιμος προσδέξασθαι καὶ οἰκίαι. Οἰόμενοι γὰρ ἕκαστος ἀγαθόν τι ἀπολαύσειν παρὰ σοῦ, ἀρχιερέως δῆθεν ὄντος, ἄσμενος προσεδέχετο.*

φ. 357 α *Σὺ δ' ἀλλ' οὐδὲν ἄλλο ἐλογίζου, οὐδὲν ἐφαντάζου, οὐ | δὲν ὠνειροπόλεις ἢ ὅπως ἀποστασί(ας) ποιήσας τέλεον ἡμᾶς ἀπολέσῃς*. Τοῦτο δὲ ποιήσας ἡμῖν ἐξεπίτηδες, ὅτι καὶ αὐτὸς τοιοῦτος ἐτύγχανες ὤν, ὅμοιόν τι τῷ διαβόλῳ ἐποίησας. Κἀκεῖνος γὰρ ἀποστάτης ὢν τοῦ Θ(εο)ῦ, πάντας βούλεται συναποστατεῖν ἐκείνῳ, ὡς ἂν ἔχοι δήπουθεν οἷόν τι περικάλυμμα τὴν τῶν πολλῶν κοινωνίαν τῆς αὐτοῦ μοχθηρί(ας). Οὐ γὰρ ἄλλο τι κερδάναι δυνατὸν αὐτῷ ἢ τοῦτό γε. Σὲ δ' οὐκ ἐχρῆν τῷ διαβόλῳ ὁμοιωθέντα καὶ μιμησά-

1. Ἁπλότητος.
5. Προσῆκεν.
10. Οὗτι . . . Οἷοι τ'.
11. Ἐννόησας.
18. Σεαυτόν.
23. Πάσα . . . Ἕτοιμοι.
24. Ἀρχιερέος . . . Ἀσμένος.
29. Ποιήσας.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

μενον τῆς ἧς εἶχες κακί(ας), ἀλλ' εἴ τί σοι τῶν καλῶν μετῆν, ἡμῖν τε καὶ τοῖς συνοῦσί σοι μεταδοῦναι. Πλὴν ἀλλὰ οὐδὲν ἦν σοι τῶν ἀγαθῶν, διὰ τὸ μηδέποτε βουληθῆναι τούτων ἀντιποιηθῆναι. *Ἐξ ὅτου γὰρ τὸ μοναχικὸν τουτὶ σχῆμα ἠμφιέσω, ἐξ ἐκείνου καὶ τὸν διάβολον συνημφιέσω.* Καὶ διὰ τοῦτο οὐκ ἂν τὸ σχῆμα ὑπαίτιον εἴποι τις, οὐ γὰρ ἂν οὕτω μανείη τις, ἀλλὰ τὴν σὴν κακίστην γνώμην τε καὶ προαίρεσιν. *Σὸν ἔργον ἦν καὶ τὸ τὴν Μεγάλην Ἐκκλησίαν ἀλοῦσαν κατοικητήριον δαιμονίων γενέσθαι. Οὐ γὰρ ἐφησυχάζειν τε καὶ ἠρεμεῖν ἤθελες, κἂν τῇ τῶν ἱεροδιακόνων ἔτι τελῶν χορείᾳ. Κατὰ τῆς Ἐκκλησίας δ' ἐχώρεις, τῷ ὁμοίῳ σοι κακεντρεχεστάτῳ Νικηφόρῳ ἀεὶ συμπλεκόμενος, καὶ ὀμόσας τούτῳ χωρῶν κἀκεῖνος σοί. Διὰ ταῦτα καὶ ἐλαχίστου τέλους τετυχήκατον ἀμφότεροι.* Τοιούτοις γὰρ τοιοῦτον δήπου καὶ τὸ τέλος. Καθ' ἡδονὴν δ' ἂν ἅπασιν ἦν, εἴγε ὑμῖν τοῖς κακῶν ἀρχιτέκτοσι τὰ κακὰ μόνοις ἦν, ὡς ἔφθην εἰπών. Νυνὶ δὲ καὶ τοῖς ἀναιτίοις ἡμῖν ταυτὶ μετοχετεύεται οὐχ ἧττον. Οὐ γὰρ οἷόν τε τῆς εὐωδίας ἢ τοῦ ἐναντίου τὸ τούτοις πλησιάσαν μὴ μεταλαβεῖν. Οὐ πώποτε τοίνυν τἀγαθὸν πεποιηκὼς ἐφάνης, *ἀλλὰ εἰ τοῖς κακοῖς ἐγγεγήρακας διὰ ταῦτα οὐ θαυμαστὸν εἰ τοιαῦτα ἡμᾶς ἔδρασας.*

*Μεμπτέοι δ' οὐχ ἥκιστα καὶ οἱ ὑπὸ σοῦ ἀπατηθέντες τε καὶ πλανηθέντες. Πάντα γὰρ αὐτοῖς εἶπον ταυτί, πάλαι σε τοιοῦτον ἐπιστάμενος εἶναι. Ἀλλ' οὐκ ἔπειθον τούτους, φθονεῖν σοι δοκῶν τούτοις, καὶ διὰ ταῦτα λέγων. Πειραθέντες δὲ τῶν σῶν κακῶν μεταμέλονται ἤδη, Ἐπιμηθεῖ ἐοικότες, τῷ ἀπροβουλεύτως πάντα πράττοντι. Νῦν ἐν τοῖς κακοῖς ὄντες ἐπέγνωσαν, ὡς καλῶς προύλεγον αὐτοῖς μή σοι πλησιάζειν.* Νῦν ἔγνωσαν παθόντες οἱ νήπιοι. Νῦν τὰ ὄμματα ἠνοίχθη τουτωνί, καὶ ἔγνωσαν ὡς εἰς βόθυνον πεπτωκότες εἰσὶ τυφλῷ ὁδηγῷ ἀκολουθήσαντες τῷ Διονυσίῳ. *Ἄρτι συνῆκαν ὅτι καλῶς ἐγὼ τούτοις παρῄνουν τε καὶ | συνεβούλευον τοιούτῳ λυμεῶνι μὴ συγγίνεσθαι.* Λύκος φ. 357 β
γὰρ οὐκ ἄν ποτε γένοιτο πρόβατον, οὐδ' ἣν τὴν τρίχα τὴν αὐτοῦ ἀποβάληται ἢ μεταλλάξας τύχῃ.» *Καὶ Διονύσιος οὐδέποτ' ἀγαθὸν ποιήσας, ὅποι περ ἂν ἔτυχε πορευθείς, ἀλλ' ἀεὶ τοῖς αὐτοῖς ἐπιμένων, ἔλεγον οὐδὲ νῦν ποιήσειν αὐτόν, οἶμαι, τἀγαθόν. Ἐκώφευον δ' ὅμως πάντες σχεδὸν ταυτί μου λέγοντος,*

---

1. Εἶτι σοι.
2. Συνοῦσι σοι.
3. Ἐξότου . . . ἠμφιάσω.
4. Συνημφιάσω.
5. Τίς.
10. Ὁμόσας . . . Κἀκεῖνος.
14. Οἷοντε.
18. Μεμπταῖοι.
21. Μεταμέλλονται. 22. Ἐπέγνων.
23. Προύλεγον . . . Παυθόντες.
28. Ἀποβάλληται.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

*οἰόμενοι ὡς ἐκεῖνος αὐτοῖς ὑπισχνεῖτο βασιλεύσειν ἀληθῶς, οἱ ἄφρονες. Διὸ καὶ τοῖς ὑπ' ἐκείνου λεγομένοις οὕτω προσεῖχον, ὡς Θ(εο)ῦ ἄντικρυς φωναῖς, καὶ οὐκ ἀν(θρώπ)ου.* Καὶ ἀν(θρώπ)ου ἀπατεῶνος τῷ ὄντι. *Τὰ δ' ἐμὰ παρὰ φαῦλον θέμενοι ῥήματα, ἦλθον εἰς ὃ οὐκ ἠλπίζετο τούτοις ἀνίατον κακόν, καὶ μεταμέλει τούτοις ἤδη τὰ μέγιστα, κέρδος δ' ὅμως οὐδὲν μεταμελομένοις· Ἄρτι νοοῦσιν ὡς οὐ φθονῶν τῷ Διονυσίῳ, ἀλλὰ ταυτὶ ὑφορώμενος καὶ δεδιώς, ἔλεγον ἅπερ ἔλεγον κατ' ἐκείνου.* Εἰ γὰρ καλὸς κἀγαθός, ὡς αὐτοὶ ὑπετόπαζον, Διονύσιος ἦν, οὐκ ἂν ἔγωγ' ἐκείνῳ ἐφθόνησά ποτε τοιούτῳ ὄντι. Μόνῳ γὰρ τῷ διαβόλῳ καὶ τοῖς ἐκείνῳ ὁμοίοις εἶναι βουλομένοις τουτὶ τὸ πάθος πρόσεστι, τὸ τοῖς καλοῖς ἀεὶ φθονεῖν· ὅπερ καλῶς ἔγωγ' ἐπιστάμενος μή μοι γένοιτο τῷ διαβόλῳ ὁμοιωθέντι τοῖς καλοῖς ποτε φθονῆσαι, μηδ' αὖ τοῖς κακοῖς ἐνδόντι συμφωνῆσαι. Δι' εὐχῆς γὰρ ἐμοί, ὡς καὶ προείρηκα, πάντας εἶναι καλούς τε κἀγαθούς, καὶ δὴ καὶ σοφί(ας) φθάνειν ἐς τὸ ἀκρότατον. Τί γὰρ ἂν ἥδύτερον καὶ λυσιτελέστερον τούτου γένοιτο;

Πλὴν ἀλλὰ ταυτὶ τοῦτον γέγονε τρόπον. Εἰ μὲν καὶ δι' ἄλλας αἰτί(ας), τῷ Θ(ε)ῷ δήπου δῆλον. Ἐμοὶ δὲ δοκεῖ, τὸ τοῦ μεγάλου ἐκείνου θεολόγου φάναι λόγιον, ὡς διὰ τὴν ἔπαρσιν ἡμῶν τυχόν, δεομένην καθαιρέσεως. *Καί τοι γε οὐδὲ νῦν ταύτῃ γε καταστάντες τῆς ἧς ἔχομεν ἀποστῆναι διανοούμεθα ὑψηλοφροσύνης τε καὶ ἐπάρσεως, ἀλλὰ τοῖς αὐτοῖς ἐπιμένομεν, καὶ τοῖς χείροσιν ἐπιδιδόναι οὐ κατοκνοῦμεν. Εἰ δέ τις ἡμᾶς νουθετήσειε τούτων ἀποστῆναι, ἢ ὡς ἄφρονα ἡγούμεθα τουτονὶ ἢ ὡς ἐχθρόν. Ταυτὶ δὲ μάλιστα ποιεῖν οὐ παύονται, οἵτε τοῦ βήματος καὶ οἷς δῆθεν τὸν κόσμον καὶ τὰ τοῦ κόσμου καταλιπεῖν ἐπῆλθε. Καί μοι δοκεῖ τὰς ἀντιχρίστου ἡμέρ(ας) ἢ παρεῖναι ἤδη ἢ πλησιάζειν.* Ὧν ῥυσθείην Κ(ύρι)ε τάχιστ' ἀναλύσας, διὰ τὸ σὸν ἄπειρον ἔλεος. Τί γὰρ ἂν τῆς ζωῆς ἀπόναιτό τις, εἰς τοῦτο κακί(ας) τῶν καιρῶν φθασάντων καὶ ἀνωμαλί(ας); Τί δέ τις καὶ ὄφελος
φ. 358α γένοιτο τοῖς ἀν(θρώπ)οις, | τὰ συνοίσοντα μὲν σφίσιν αὐτοῖς ἀποστρεφομένοις, πρὸς δὲ τὰ χείρω καὶ ἀλυσιτελῆ μᾶλλον προτροπάδην ἐφορμοῦσιν;

Ἀλλὰ τούτων ἅλις· *τὸν δὲ λόγον ἐνταῦθα στήσω τὰ πλείω παρείς. Τοὺς δ' ἐντυχόντας τούτοις ἢ ἐντευξομένους ἀξιῶ ταυτὶ διορθῶσαι, ὅπου ἂν εὕρωσι διορθώσεως δεόμενα, προσθεῖναί τε οἴκοθεν τὰ πάντῃ ἐλλείπονται.*

ͱχια' Σεπτεμβρίου κδῃ' εἰς Ἰωάννινα ἐγκλείστῳ μοι ὄντι ταυτὶ γέγραπται Μαξίμῳ Ἱερομονάχῳ:

---

9. Τῳόντι. 10. Πόσεστι. 33. Δεόμεθα.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008